Νειόθεν ἀντλήσασα· χύδην δ' ἔβρυξε μελαίνη
Σηπεδόνη χλωρὴν σάρκα καὶ ἀστραγάλους.
Ἐτμήθη δ' ἀπὸ τῆς στιβαρὸν γόνυ, καί σε κομίζει
Μουνόποδα, βλωθρῆς σκηπάνιον κοτίνου.

---

## ΕΙΣ ΑΝΔΡΙΑΝ ΚΑΙ ἀνδρείας, κεφ. ε.

### Ἄδηλον, εἰς λάκαιναν.

Γυμνὸν ἰδοῦσα λάκαινα παλίντροπον ἐκ πολέμοιο
Παῖδ' ἑὸν, ἐς πάτραν ὠκὺν ἰέντα πόδα,
Ἀντίη ἀΐξασα, δι' ἥπατος ἤλασε λόγχην,
Ἄρρενα ῥηξαμένη φθόγγον ἐπὶ κταμένῳ.
Ἀλλότριον σπάρτας (εἶπεν) γένος, ἔρρε ποθ' ᾅδαν,
Ἔρρ', ἐπεὶ ἐψεύσω πατρίδα, καὶ γενέταν.

### ΠΑΛΛΑΔΑ, εἰς τὸ αὐτό.

Φεῦγε λάκων ποτὲ δῆριν, ὑπαντιάσασα δὲ μήτηρ
Εἶπε, κατὰ στέρνων ἄορ ἀνασχομένη,
Ζώων μὲν σέο ματρὶ διαμπερὲς αἶσχος ἀνάπτεις,
Καὶ κρατερᾶς σπάρτας πάτρια θεσμὰ λύεις.
Ἢν δὲ θάνῃς παλάμῃσιν ἐμαῖς, μάτηρ μὲν ἀκούσω
Δύσμοιρος, ἀλλ' ἐν ἐμῇ πατρίδι σωζομένα.

### ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων αἰγυπτίου, ὅμοιον.

Μήτηρ υἷα λιπόντα μάχην μετὰ πότμον ἑταίρων
Ἔκτανεν, ὠδίνων μνῆστιν ἀναινομένη.

Καὶ γὰρ